Κἀποσυκάζεις.] συκοφαντεῖς. ἐξηγήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν. καὶ εἴτις διεβλήθη κλέπτων ἐκολάζετο. φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν. ἄλλως. συκάζειν τὸ ἀποθλίβειν τὰ σῦκα. ἢ ὠμὰ ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε τὸ ἀποπιέζων, ἐπεὶ ἀποθλίβει τοὺς συκοφαντουμένους, καὶ πιέζει δωροδοκῶν. Τοὺς ὑπευθύνους σκοπῶν.] διαλογιζόμενος. καὶ ὁρῶν καὶ πολυπραγμονῶν. ὠμὸς δὲ σκληρός. δυσκαταμάχητος. ἀντὶ δὲ τοῦ εἰπεῖν πένης, ἢ πλούσιος ἐπέμεινε τῇ μεταφορᾷ ὡς ἐπὶ σύκων. τὸ δὲ πέπων ἢ μὴ πέπων, ἀντὶ τοῦ ἁπαλὸς, ῥαδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ ἀπὸ τοῦ συκάζειν τούτοις τοῖς ὀνόμασι κέχρηται. ὠμὰ δὲ τὰ μηδέπω ὡριμακότα. ὥσπερ οὖν ἐπὶ τῶν καρπῶν, ἐκ μὲν τῶν πεπανθέντων ἔστι δρέψασθαι καὶ φαγεῖν. ἐκ δὲ τῶν ἀώρων καὶ ὠμῶν οὐκέτι. οὕτω φησὶ καὶ τῶν ἀνθρώπων ὁ Κλέων διελογίζετο, καὶ διέκρινε τίς ἐπιτήδειος διασεισθῆναι, καὶ τίς σκληρὸς καὶ δυσκαταμάχητος. ὑπευθύνους δὲ, τοὺς μηδέπω λογισμὸν παρεχομένους μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν. Ἀπράγμονα.] ἐπιεικῆ καὶ μέτριον τοὺς τρόπους. οὐ φιλοπράγμονα. Ἐκ Χερρονήσου.] C Χερρόνησος τῆς Θρᾴκης χωρίον καὶ πόλις, ὑποτελὴς τῶν Ἀθηναίων εὔφορος εἰς πυροῦ γεωργίαν. ὅθεν καὶ ἐσιτά-

A γώγουν οἱ Ἀθηναῖοι. ὡς ἰδιοπραγμόνων δὲ, καὶ ἰδιωτῶν ὄντων τῶν Χερρονησιωτῶν καὶ διασεισθῆναι δυναμένων ῥᾳδίως, μάλιστα δὲ τοῦ Κλέωνος ἐπηρεάζοντος αὐτοὺς τούτου ἐμνήσθη. ὅθεν ὡς ἐπὶ ἀγροίκων καὶ τῷ καταγαγὼν ἐχρήσατο. σημαντικῶς ὥσπερ ἀπ' ἀγροῦ τινος μετακαλουμένων καὶ κατιόντων εἰς πόλιν. ἄλλως. ὡς καταγαγόντος αὐτοὺς συμμάχους εἰς Ἀθήνας, καὶ συκοφαντοῦντος καὶ ἀργυριζομένου. Ἀγκυρίσας.] ὑποσκελίσας. καταξας. μεταβαλόμενος οἷον τῇ ἀγκύλῃ καταλαβών. ὅπερ ἐστὶν ἀκοντίου εἶδος. ἢ καταπαλαίσας. παλαιστρικὰ γάρ εἰσι ταῦ-B τα. καὶ τὸ διαβαλὼν καὶ τὸ ἀγκυρίσας. καὶ ἀγκύρισμα εἶδος παλαίσματος. καὶ σκεῦος ἀγρευτικὸν σύκων. Ἐνεκολάβησας.] ἄκολος. ψωμὸς, ὅθεν τὸ ἐνεκολάβησας. ἀντὶ τοῦ καταπέπωκας. τὸ δὲ ὅλον καταπαλαίσας αὐτὸν ἐμπεριελθὼν, καὶ διασείσας, ἀργυρίζεται. τὴν βίαν δὲ ἣν κέχρηται κατὰ τῶν ἀνθρώπων, διὰ τῆς πάλης ἐδήλωσε. Καὶ σκοπεῖς γε τῶν πολιτῶν.] διακρίνεις καὶ ἀναζητεῖς. ὁ δὲ νοῦς αὐτῷ πᾶς τοῦτο λέγειν βούλεται. ὅτι οὐ τῷ προειρημένῳ ἐπηρεάζει τρόπῳ. ἀλλ' εἴτις καὶ τοιοῦτό τι ποιεῖ, ἀναζητεῖ καὶ διακρίνει τίς ἐστι τῶν πολιτῶν C ἀμνοκῶν. οἷον προβατώδης. τουτέστι μωρὸς καὶ εὐήθης. τὰ γὰρ πρόβατα ἐπὶ εὐηθείᾳ διαβάλλεται.

| | | |
|---|---|---|
| Πλούσιος, καὶ μὴ πονηρὸς, καὶ τρέμων τὰ πράγματα. | | Atque haud improbi, & qui maximè abhorret à negociis. |
| Κλ. Ξυνεπίκεισθ' ὑμεῖς, ἐγὼ δ' ὦνδρες δι' ὑμᾶς τύπτομαι, | | CL. Vos vnà in me insurgitis, ego verò propter vos vapulo, |
| Ὅτι λέγειν γνώμην ἔμελλον, ὡς δίκαιον ἐν πόλει | D | Qui sententiam dicturus fueram, quòd iustum sit hac |
| Ἑστάναι μνημεῖον ὑμῶν ἐστὶν, ἀνδρείας χάριν. | | Erigere in vrbe monumentum vestri, ob fortitudinem. |
| Χο. Ὡς δ' ἀλαζὼν, ὡς δὲ μάσθλης, εἶδες, οἷ' ὑπέρχεται, | | CH. Hominem verberonem & arrogantem: videsis, quomodo |
| Ὡσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται. | | Se insinuet: quasi qui senibus nobis os penitus sublinat. |
| Ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτηὶ πεπλήξεται, | E | At si isthoc modo vincat, eodem mox verberabitur: |
| Ἢν δ' ὑπεκκλίνῃ γε δευρὶ, πρὸς σκέλος κυρηβάσει. | | Sin huc declinauerit, crus impinget sæuissimè. |
| Κλ. Ὦ πόλις καὶ δῆμ' ὑφ' οἵων θηρίων γαστρίζομαι; | | CL. O vrbs, ô plebs, à quibus ventrem percutior feris? |
| Χο. Καὶ κέκραγας, ὥσπερ ἀεὶ τὴν πόλιν καταστρέφεις; | | CH. Etiam clamitas: vrbem qui nostram semper destruis? |

Σχόλια. Καὶ τρέμων τὰ πράγματα.] εὐλαβούμενος καταστῆναι εἰς πράγματα. πολλοὶ γὰρ οὐ διὰ δειλίαν ἀλλ' ἦθος καὶ τρόπων ἐπιείκειαν, αἱροῦνται ζημιωθῆναι μᾶλλον, ἢ χωρῆσαι διὰ δίκης. καὶ τοὺς τοιούτους ἐπιλεγόμενος φησὶν ὁ Κλέων, καταστῆσαι εἰς φόβον τοῦ παρέξειν πράγματα ἐπηρεάζει ῥᾳδίως. Ὡς δ' ἀλαζὼν.] ἀλαζὼν, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. μάσθλης δὲ κυρίως, ἱμὰς μεμαλαγμένος καὶ ἁπαλός. καὶ τρυφερός. καλῶς οὖν ἐπὶ τοῦ Κλέωνος τῷ ὀνόματι κέχρηται, ὁμοῦ καὶ τὸ τοῦ τρόπου ὕπουλον καὶ τὸ λαγαρὸν αὐτοῦ δεικνὺς, καὶ σκώπτων ὡς βυρσέα. ἀφ' ὧν οἱ ἱμάντες γίγνονται κατεργασθέντες τοιοῦτοι. μάσθλης οὖν ὁ μεμαλαγμένος ἐν πονηρίᾳ. Εἶδες οἷ' ὑπέρχεται.] ὡς ὑπάγεται τὸν δῆμον ὑποτρέχων. καὶ κολακεύει. καὶ καταπραΰνει ἀπάγων τὴν ὀργὴν ἅπασαν τὴν πρὸς αὐτούς. Ὡσπερεὶ γέροντας.] ὥσπερ φησὶ τοὺς γέροντας δικαστὰς ἐκπανουργῆσαι, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν. κόβαλα γὰρ καλοῦσι

F τὰ πανουργήματα. Ἐκκοβαλικεύεται.] ἀπατᾷ. παραλογίζεται. λῃστεύει. κόβαλοι γὰρ οἱ λῃσταί. τοὺς αὐτοὺς καὶ κορυνηφόρους καλοῦσιν. οἱ δὲ, κόβαλον τὴν μετὰ ἀπάτης παιδιάν. Ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ.] τῇ πανουργίᾳ λέγει. ὅτε ἐν τῇ πανουργίᾳ νικήσει. αὐτῇ τῇ πανουργίᾳ πεισθήσεται. ἄλλως. τὰς χεῖρας δείκνυσιν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. διὸ φασὶ καὶ τὸ κυρηβάσει. Κυρηβάσει.] κυρηβασία λέγεται ἡ διὰ τῶν κεράτων μάχη. ἥπερ ἐν τοῖς ἀλόγοις ζώοις γίνεται. τοῦτο οὖν δηλοῖ ὅτι ἢ μάχεται ἢ πλήξει. κυρηβάσεις γὰρ λέγονται αἱ πλήξεις τῶν τράγων. G καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται. ἄλλως. πρὸς τὸ σκέλος μάχεται. ἢ διαπεσεῖται. γαστρίζομαι δὲ εἶπεν, ὡς πληγεὶς τῷ σκέλει. εἰς τὴν γαστέρα τύπτομαι. παρεπιγραφὴ δὲ, συγκέκυφε γὰρ καὶ ὑπὸ τῶν διωκόντων τύπτεται. καταστρέφεις δὲ, δουλοῖς. τρέψομαι δέ. εἰς φυγὴν τρέψω. πλεῖόν σου βοῶν νικήσω. ὑπερβαλοῦμαι.

BISETVS.